## *ΑΔΟΛΕΣΧΙΑΣ*

*Ἡ δὲ ἀδολεσχία ἐστὶ μὲν διήγησις λόγων μακρῶν καὶ ἀπροβουλεύτων, ὁ δὲ ἀδολέσχης τοιοῦτός τις, οἷος, ὃν μὴ γινώσκει, τούτῳ παρακαθεζόμενος πλησίον πρῶτον μὲν τῆς αὑτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα, ὃ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ τὰ καθ' ἕκαστα διεξελθεῖν. εἶτα δὴ προχωροῦντος τοῦ πράγματος λέγειν, ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων, καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ, καὶ ὡς πολλοὶ ἐπιδημοῦσι ξένοι, καὶ τὴν θάλατταν ἐκ Διονυσίων πλώϊμον εἶναι· καὶ εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ πλεῖον, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι, καὶ ἀγρὸν εἰς νέωτα γεωργήσει, καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν, καὶ ὡς Δάμιππος μυστηρίοις μεγίστην δᾷδα ἔστησεν, καὶ πόσοι εἰσὶ κίονες τοῦ Ὠιδείου, καὶ 'χθὲς ἤμεσα', καὶ 'τίς ἐστιν ἡμέρα σήμερον', καὶ ὡς Βοηδρομιῶνος μέν ἐστι τὰ μυστήρια, Πυανοψιῶνος δὲ δὲ Ἀπατούρια, Ποσιδεῶνος δὲ ⟨τὰ⟩ κατ' ἀγροὺς Διονύσια· κἂν ὑπομένῃ τις αὐτόν, μὴ ἀφίστασθαι.*

*Α (Γ)*

## *ΛΑΛΙΑΣ*

*Ἡ δὲ λαλιά, εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν δόξειεν ἀκρασία τοῦ λόγου, ὁ δὲ λάλος τοιοῦτός τις, οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοῦν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει καὶ ὅτι αὐτὸς πάντα οἶδε καὶ ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται· καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ἐπιβάλλειν· 'εἴπας σύ; μὴ ἐπιλάθῃ, ὃ μέλλεις λέγειν', καὶ 'εὖ γε, ὅτι με ὑπέμνησας' καὶ 'τὸ λαλεῖν ὡς χρήσιμόν που' καὶ 'ὃ παρέλιπον' καὶ 'ταχύ γε συνῆκας τὸ πρᾶγμα' καὶ*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416470955/10 UNIVERSITÄT LEIPZIG